*δύνων ἐν ταῖς πορείαις ἐστὶ μεστά. συμβουλεῦσαι μέντοι
ἔχω σοί τε καὶ τοῖς οἰκισταῖς, ὃ εἰπόντος μὲν ἐμοῦ, φησὶν* 359
*Ἡσίοδος, δόξαι ἂν εἶναι φαῦλον, χαλεπὸν δὲ νοῆσαι. εἰ
γὰρ οἷόν τε ὑπὸ νόμων θέσεως καὶ ὡντινων εὖ ποτε πολιτείαν κατασκευασθῆναι ἄνευ τοῦ εἶναί τι κύριον ἐπιμελούμενον ἐν τῇ πόλει τῆς καθ' ἡμέραν διαίτης, ὅπως ἂν ᾖ
σώφρων τε καὶ ἀνδρικὴ δούλων τε καὶ ἐλευθέρων, οὐκ ὀρθῶς
διανοοῦνται. τοῦτο δ' αὖ, εἰ μέν εἰσιν ἤδη ἄνδρες ἄξιοι
τῆς ἀρχῆς ταύτης, γένοιτ' ἄν· εἰ δ' ἐπὶ τὸ παιδεῦσαι δεῖ* b
*τινος, οὔτε ὁ παιδεύσων οὔτε οἱ παιδευθησόμενοι, ὡς ἐγὼ
οἶμαι, εἰσὶν ὑμῖν, ἀλλὰ τὸ λοιπὸν τοῖς θεοῖς εὔχεσθε. καὶ
γὰρ σχεδόν τι καὶ αἱ ἔμπροσθεν πόλεις οὕτω κατεσκευάσθησαν, καὶ ἔπειτα εὖ ᾤκησαν, ὑπὸ συμβάσεων πραγμάτων
μεγάλων καὶ κατὰ πόλεμον καὶ κατὰ τὰς ἄλλας πράξεις
γενομένων, ὅταν ἐν τοιούτοις καιροῖς ἀνὴρ καλός τε καὶ
ἀγαθὸς ἐγγένηται μεγάλην δύναμιν ἔχων· τὸ δ' ἔμπροσθεν
αὐτὰ προθυμεῖσθαι μὲν χρὴ καὶ ἀνάγκη, διανοεῖσθαι μέντοι* c
*αὐτὰ οἷα λέγω, καὶ μὴ ἀνοηταίνειν οἰομένους τι ἑτοίμως
διαπράξασθαι. εὐτύχει.*

## ΙΒ

### Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Τὰ *μὲν παρὰ σοῦ ἐλθόνθ' ὑπομνήματα θαυμαστῶς ὡς
ἄσμενοί τε ἐλάβομεν καὶ τοῦ γράψαντος αὐτὰ ἠγάσθημεν* d
*ὡς ἔνι μάλιστα, καὶ ἔδοξεν ἡμῖν εἶναι ὁ ἀνὴρ ἄξιος ἐκείνων
τῶν πάλαι προγόνων· λέγονται γὰρ δὴ οἱ ἄνδρες οὗτοι
Μύριοι εἶναι—οὗτοι δ' ἦσαν τῶν ἐπὶ Λαομέδοντος ἐξανα-*

a 1 *ἔχω** A : *ἔχων* O a 3 *γρ. πολιτείαν* $A^{2}$ $O^{2}$ : *πόλιν ἂν* A O : *πολιτείαν πόλιν* Z a 4 *τι* A O : *τινα* Z et *να* s. v. $A^{2}$ $O^{2}$ b 3 *εὔχεσθε* A O : *εὔχεσθαι* Z b 5 *ᾤκησαν* A Z : *ᾠκίσθησαν* O et *γρ.* Z c 3 post *διαπράξασθαι* add. *δεῖ* s. v. $A^{2}$ d 4 *οὗτοι δ' ἁπάντων ἐπὶ λαομέδοντος* A Z O : *γρ. αὐτοὶ δ' ἦσαν τῶν ἐπὶ λαομέδοντος* $A^{3}$ (*ἐν ἄλλῳ*) $Z^{2}$ $O^{2}$

*στάντων Τρώων—ἄνδρες ἀγαθοί, ὡς ὁ παραδεδομένος μῦθος δηλοῖ. τὰ δὲ παρ' ἐμοὶ ὑπομνήματα, περὶ ὧν ἐπέστειλας, ἱκανῶς μὲν οὔπω ἔχει, ὡς δέ ποτε τυγχάνει ἔχοντα, ἀπέ-*
e *σταλκά σοι· περὶ δὲ τῆς φυλακῆς ἀμφότεροι συμφωνοῦμεν, ὥστ' οὐδὲν δεῖ παρακελεύεσθαι.*

(*ἀντιλέγεται ὡς οὐ Πλάτωνος.*)

## ΙΓ

360 ## *Πλάτων Διονυσίῳ τυράννῳ Συρακουσῶν εὖ πράττειν.*

*Ἀρχή σοι τῆς ἐπιστολῆς ἔστω καὶ ἅμα σύμβολον ὅτι παρ' ἐμοῦ ἐστιν· τοὺς Λοκροὺς ποθ' ἑστιῶν νεανίσκους, πόρρω κατακείμενος ἀπ' ἐμοῦ, ἀνέστης παρ' ἐμὲ καὶ φιλοφρονούμενος εἶπες εὖ τι ῥῆμα ἔχον, ὡς ἔμοιγε ἐδόκεις καὶ*
b *τῷ παρακατακειμένῳ—ἦν δ' οὗτος τῶν καλῶν τις—ὃς τότε εἶπεν· "Ἦ που πολλά, ὦ Διονύσιε, εἰς σοφίαν ὠφελῇ ὑπὸ Πλάτωνος·" σὺ δ' εἶπες· "Καὶ εἰς ἄλλα πολλά, ἐπεὶ καὶ ἀπ' αὐτῆς τῆς μεταπέμψεως, ὅτι μετεπεμψάμην αὐτόν, δι' αὐτὸ τοῦτο εὐθὺς ὠφελήθην." τοῦτ' οὖν διασωστέον, ὅπως ἂν αὐξάνηται ἀεὶ ἡμῶν ἡ ἀπ' ἀλλήλων ὠφελία. καὶ ἐγὼ νῦν τοῦτ' αὐτὸ παρασκευάζων, τῶν τε Πυθαγορείων πέμπω σοι καὶ τῶν διαιρέσεων, καὶ ἄνδρα, ὥσπερ ἐδόκει ἡμῖν τότε,*
c *ᾧ γε σὺ καὶ Ἀρχύτης, εἴπερ ἥκει παρά σε Ἀρχύτης, χρῆσθαι δύναισθ' ἄν. ἔστι δὲ ὄνομα μὲν Ἑλίκων, τὸ δὲ γένος ἐκ Κυζίκου, μαθητὴς δὲ Εὐδόξου καὶ περὶ πάντα τὰ ἐκείνου πάνυ χαριέντως ἔχων· ἔτι δὲ καὶ τῶν Ἰσοκράτους μαθητῶν τῳ συγγέγονεν καὶ Πολυξένῳ τῶν Βρύσωνός τινι ἑταίρων. ὃ δὲ σπάνιον ἐπὶ τούτοις, οὔτε ἄχαρίς ἐστιν ἐντυχεῖν*

e 3 *ἀντιλέγεται κτλ.* habent in textu A Z O  a 4 *ποτεστιων* A : *ποτ' ἑστιῶν* A² a 6 *ἔμοιγε* A Z O : *ἐμοί τε* O² (*τ* s. v.) *ἐδόκεις* re vera A O : *ἐδόκει* vulg. b 6 *ἡμῶν* A Z O : *ἡμῖν* O² (*ῖ* s. v.) c 1 *γε*] *τε* libri c 4 *μαθη**τῶν* A : *μαθημάτων* O